www.e-rara.ch

# Organon organōn, ē hē tēs philosophias cheir

**Aristoteles**

**Basileae, Anno 1536**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-1630

## Aristotelous topikōn triton

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

πον καὶ τὸ μὲν συμφέρει τοιαύτῃ διαίτῃ χρῆσθαι, οἷον ἐν τοῖς νοσώδεσι τόποις, ἁπλῶς δὲ οὐ συμφέρει. ἔτι δὲ τὸ μὲν ἕνα μόνον δυνατὸν εἶναι, ἁπλῶς δὲ οὐ δυνατὸν ἕνα μόνον εἶναι. τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ μὲν καλὸν τὸν πατέρα θύειν, οἷον ἐν Τριβαλλοῖς, ἁπλῶς δὲ οὐ καλόν. ἢ τοῦτο μὲν, οὐ ποῦ σημαίνει, ἀλλά τισιν. οὐδὲν γὰρ διαφέρει ὅπου ἂν ὦσι. πανταχοῦ γὰρ αὐτοῖς ἔσται καλὸν οὖσι Τριβαλλοῖς. πάλιν ποτὲ μὲν συμφέρει φαρμακεύεσθαι, οἷον ὅταν νοσῇ, ἁπλῶς δὲ οὔ. ἢ οὐδὲ τοῦτο ποτὲ σημαίνει, ἀλλὰ τῷ διακειμένῳ πως, οὐδὲν γὰρ διαφέρει, ὁποτεοῦν, ἐὰν οὕτω μόνον διακείμενος ᾖ. τὸ δ' ἁπλῶς ἐστὶν ὃ μηδενὸς προστεθέντος ἐρεῖς, ὅτι καλόν ἐστιν, ἢ τὸ ἐναντίον. οἷον τὸ τὸν πατέρα θύειν, οὐκ ἐρεῖς καλὸν εἶναι, ἀλλά τισι καλὸν εἶναι, οὐκ ἄρα ἁπλῶς καλόν. ἀλλὰ τὸ τοὺς θεοὺς τιμᾶν, ἐρεῖς καλὸν, μηθὲν προστιθείς. ἁπλῶς γὰρ καλόν ἐστιν, ὥστε ὃ ἂν μηδενὸς προστιθεμένου δοκῇ εἶναι καλὸν, ἢ αἰσχρὸν, ἢ ἄλλο τι τῶν τοιούτων, ἁπλῶς ῥηθήσεται.

Τέλος τοῦ δευτέρου τῶν τοπικῶν.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ

## ΤΟΠΙΚΩΝ ΤΡΙΤΟΝ.

Πότερον δ' αἱρετώτερον ἢ βέλτιον δυοῖν, ἐκ τῶνδε σκεπτέον. πρῶτον δὲ διωρίσθω, ὅτι τὴν σκέψιν ποιούμεθα, οὐχ ὑπὲρ τῶν πολὺ διεστώτων καὶ μεγάλην πρὸς ἄλληλα διαφορὰν ἐχόντων. οὐδεὶς γὰρ ἀπορεῖ, πότερον εὐδαιμονία ἢ ὁ πλοῦτος αἱρετώτερον, ἀλλ' ὑπὲρ τῶν σύνεγγυς, καὶ περὶ ὧν διαμφισβητοῦμεν, ποτέρῳ δεῖ προσθέσθαι μᾶλλον, διὰ τὸ μηδεμίαν ὁρᾶν τοῦ ἑτέρου πρὸς ἕτερον ὑπεροχήν. δῆλον οὖν ἐπὶ τούτων ὅτι δειχθείσης ὑπεροχῆς μιᾶς ἢ πλειόνων, συγκαταθήσεται ἡ διάνοια, ὅτι τοῦτό ἐστιν αἱρετώτερον, ὁπότερον τυγχάνει αὐτῶν ὑπερέχον. πρῶτον μὲν οὖν τὸ πολυχρονιώτερον ἢ βεβαιότερον, αἱρετώτερον τοῦ ἧττον τοιούτου.

Καὶ ὃ ἂν μᾶλλον ἕλοιτο ὁ φρόνιμος, ἢ ὁ ἀγαθὸς ἀνὴρ, ἢ ὁ νόμος ὁ ὀρθὸς, ἢ οἱ σπουδαῖοι περὶ ἕκαστα αἱρούμενοι ἢ τοιοῦτοί εἰσιν, ἢ οἱ ἐν ἑκάστῳ γένει ἐπιστήμονες, ἢ ὅσα οἱ πλείους, ἢ οἱ πάντες. οἷον, ἐν ἰατρικῇ, ἢ τεκτονικῇ, ἃ οἱ πλείους τῶν ἰατρῶν, ἢ οἱ πάντες ἢ ὅσα ὅλως οἱ πλείους, ἢ πάντες, ἢ πάντα. οἷον τὸ ἀγαθὸν, πάντα γὰρ τοῦ ἀγαθοῦ ἐφίεται. δεῖ δὲ ἄγειν πρὸς ὅ,τι ἂν ᾖ χρήσιμον τὸ ῥηθησόμενον. ἔστι δὲ ἁπλῶς μὲν βέλτιον καὶ αἱρετώτερον, τὸ κατὰ τὴν βελτίω ἐπιστήμην. οἷον εἰ βελτίων ἐπιστήμη φιλοσοφία τεκτονικῆς, καὶ ἁπλῶς αἱρετώτερα τὰ περὶ φιλοσοφίαν τῶν κατὰ τεκτονικήν. τινὶ δὲ, τὸ κατὰ τὴν οἰκείαν. Ἔπειτα δὲ τὸ ὅπερ τόδε τι, τοῦ μὴ ἐν γένει, οἷον ἡ δικαιοσύνη τοῦ δικαίου. τὸ μὲν γὰρ ἐν γένει τῷ ἀγαθῷ, τὸ δὲ οὔ. καὶ τὸ μὲν, ὅπερ ἀγαθὸν, τὸ δ' οὔ. οὐδὲν γὰρ λέγεται ὅπερ τὸ γένος ὃ μὴ τυγχάνει ἐν τῷ γένει ὄν. οἷον, ὁ λευκὸς ἄνθρωπος οὐκ ἔστιν ὅπερ χρῶμα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Καὶ τὸ δι' ἑαυτὸ αἱρετὸν τοῦ δι' ἕτερον αἱρετοῦ αἱρετώτερον. οἷον τὸ ὑγιαίνειν τοῦ γυμνάζεσθαι. τὸ μὲν γὰρ δι' ἑαυτὸ αἱρετὸν, τὸ δὲ, δι' ἕτερον. Καὶ τὸ καθ' αὑτὸ τοῦ κατὰ συμβεβηκὸς, οἷον τὸ τοὺς φίλους δικαίους εἶναι τοῦ, τοὺς ἐχθρούς. τὸ μὲν γὰρ καθ' αὑτὸ αἱρετὸν, τὸ δὲ, κατὰ συμβεβηκὸς αἱρούμεθα, ὅπως μηδὲν ἡμᾶς βλάπτωσιν. ἔστι δὲ τοῦτο ταυτὸν τῷ πρὸ τούτου, διαφέρει δὲ τῷ τρόπῳ. τὸ μὲν γὰρ τοὺς φίλους δικαίους εἶναι δι' αὑτὸ αἱρούμεθα, καὶ εἰ μηδὲν ἡμῖν μέλλει ἔσεσθαι, κἂν ἐν Ἰνδοῖς ὦσι. τὸ δὲ τοὺς ἐχθροὺς, δι' ἕτερον, ὅπως μηδὲν ἡμᾶς βλάπτωσι. Καὶ τὸ αἴτιον ἀγαθοῦ καθ' αὑτὸ, τοῦ κατὰ συμβεβηκὸς αἰτίου, καθάπερ ἡ ἀρετὴ τῆς τύχης. ἡ μὲν γὰρ καθ' αὑτὴν, ἡ δὲ κατὰ συμβεβηκὸς αἰτία τῶν ἀγαθῶν, καὶ εἴ τι ἄλλο τοιοῦτον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἐναντίου, τὸ γὰρ καθ' αὑτὸ κακοῦ αἴτιον, φευκτότερον τοῦ κατὰ συμβεβηκὸς, οἷον ἡ κακία καὶ ἡ τύχη. τὸ μὲν γὰρ καθ' αὑτὸ κακὸν, ἡ δὲ τύχη κατὰ συμβεβηκός. Καὶ τὸ ἁπλῶς ἀγαθὸν τοῦ τινὶ αἱρετώτερον. οἷον τὸ ὑγιάζεσθαι τοῦ τέμνεσθαι. τὸ μὲν γὰρ ἁπλῶς ἀγαθὸν, τὸ δὲ τινὶ τῶν δεομένων τομῆς. Καὶ τὸ φύσει, τοῦ μὴ φύσει, οἷον ἡ δικαιοσύνη τοῦ δικαίου. τὸ μὲν γὰρ φύσει, τὸ δὲ, ἐπίκτητον. Καὶ τὸ τῷ βελτίονι καὶ τιμιωτέρῳ

ὑπάρχον, αἱρετώτερον, οἷον θεῷ ἤπερ ἀνθρώπῳ, καὶ ψυχῇ ἤπερ σώματι. Καὶ τὸ τοῦ βελτίονος ἴδιον, βέλτιον ἢ τὸ τοῦ χείρονος, οἷον τὸ τοῦ θεοῦ ἤπερ τὸ τοῦ ἀνθρώπου. κατὰ μὲν γὰρ τὰ κοινὰ ἐν ἀμφοτέροις, οὐδὲν διαφέρει ἀλλήλων, τοῖς δὲ ἰδίοις τὸ ἕτερον τοῦ ἑτέρου διαφέρον ὑπάρχει. Καὶ τὸ ἐν βελτίοσιν, ἢ προτέροις, ἢ τιμιωτέροις, βέλτιον, οἷον ὑγίεια, ἰσχύος, καὶ κάλλους. ἡ μὲν γὰρ ἐν ὑγροῖς καὶ ξηροῖς καὶ θερμοῖς καὶ ψυχροῖς, ἁπλῶς δ' εἰπεῖν ἐξ ὧν πρώτων συνέστηκε τὸ ζῷον, τὰ δὲ ἐν τοῖς ὑστέροις. ἡ μὲν γὰρ ἰσχὺς, ἐν τοῖς νεύροις, καὶ ὀστοῖς, τὸ δὲ κάλλος, τῶν μελῶν τις συμμετρία δοκεῖ εἶναι. Καὶ τὸ τέλος τῶν πρὸς τὸ τέλος αἱρετώτερον δοκεῖ εἶναι. Καὶ δυοῖν, τὸ ἔγγυον τοῦ τέλους.

Καὶ ὅλως τὸ πρὸς τὸ τοῦ βίου τέλος, αἱρετώτερον μᾶλλον, ἤπερ τὸ πρὸς ἄλλό τι. οἷον τὸ πρὸς εὐδαιμονίαν συντεῖνον, ἤπερ τὸ πρὸς φρόνισιν. τὸ γὰρ πρὸς εὐδαιμονίαν συντεῖνον, αἱρετώτερον. Καὶ τὸ δυνατὸν τοῦ ἀδυνάτου. Ἔτι δύο ποιητικῶν ὄντων οὗ τὸ τέλος βέλτιον, καὶ αὐτὸ βέλτιον. ποιητικοῦ δὲ καὶ τέλους, ἐκ τοῦ ἀνάλογον. ὅταν πλείονι ὑπερέχῃ τὸ τέλος τοῦ τέλους, ἢ ἐκεῖνο τοῦ οἰκείου ποιητικοῦ. οἷον εἰ ἡ εὐδαιμονία πλείονι ὑπερέχει ὑγιείας, ἤπερ ὑγίεια ὑγιεινοῦ, ὥστε τὸ ποιητικὸν εὐδαιμονίας, βέλτιον ὑγιείας. ὅσῳ γὰρ ἡ εὐδαιμονία ὑγιείας ὑπερέχει, τοσούτῳ καὶ τὸ ποιητικὸν τὸ τῆς εὐδαιμονίας τοῦ ὑγιεινοῦ ὑπερέχει. ἡ δὲ ὑγίεια τοῦ ὑγιεινοῦ ἐλάττονι ὑπερεῖχεν, ὥστε πλείονι ὑπάρχει τὸ ποιητικὸν εὐδαιμονίας τοῦ ὑγιεινοῦ, ἤπερ ἡ ὑγίεια, τοῦ ὑγιεινοῦ. δῆλον οὖν ὅτι αἱρετώτερον τὸ ποιητικὸν εὐδαιμονίας τῆς ὑγιείας. τοῦ γὰρ αὐτοῦ πλείονι ὑπερέχει. Ἔτι τὸ κάλλιον καθ' αὑτὸ, καὶ τιμιώτερον, καὶ ἐπαινετώτερον, οἷον φιλία, πλούτου, καὶ δικαιοσύνη, ὑγιείας, καὶ ἰσχύος. τὰ μὲν γὰρ καθ' αὑτὰ τῶν τιμίων καὶ ἐπαινετῶν, τὰ δὲ οὐ καθ' αὑτὰ, ἀλλὰ δι' ἕτερον. οὐδεὶς γὰρ τιμᾷ τὸν πλοῦτον δι' αὑτὸν, ἀλλὰ δι' ἕτερον, τὴν δὲ φιλίαν, καθ' αὑτὸ, κἂν εἰ μηδὲν μέλλοι ἡμῖν ἕτερον ἀπ' αὐτῆς ἔσεσθαι. Ἔτι ὅταν δύο τινὰ ᾖ σφόδρα ἀλλήλοις παραπλήσια, καὶ μὴ δυνώμεθα ὑπεροχὴν μηδεμίαν συνιδεῖν τοῦ ἑτέρου πρὸς ἕτερον, ὁρᾶν ἀπὸ τῶν παρεπομένων. ᾧ γὰρ ἕπεται μεῖζον ἀγαθὸν, τοῦθ' αἱ-

τοῦθ' αἱρετώτερον, ἂν δ' ἡ τὰ ἑπόμενα κακά, ᾧ τὸ ἔλαττον ἀκολουθεῖ κακόν, τοῦθ' αἱρετώτερον. ὄντων γὰρ ἀμφοτέρων αἱρετῶν, οὐδὲν κωλύει δυσχερές τι παρέπεσθαι. διχῶς δὲ ἀπὸ τοῦ ἕπεσθαι ἡ σκέψις. καὶ γὰρ πρότερον καὶ ὕστερον ἕπεται, οἷον τῷ μανθάνοντι, τὸ μὲν ἀγνοεῖν πρότερον, τὸ δὲ ἐπίστασθαι, ὕστερον. βέλτιον δ' ὡς ἐπὶ τὸ πολὺ τὸ ὕστερον ἑπόμενον. λαμβάνειν οὖν τῶν ἑπομένων ὁπότερον ἂν ᾖ χρήσιμον. Ἔτι τὰ πλείω ἀγαθὰ τῶν ἐλαττόνων, ἢ ἁπλῶς, ἢ ὅταν τὰ ἕτερα ἐν τοῖς ἑτέροις ὑπάρχῃ, τὰ ἐλάττω ἐν τοῖς πλείοσιν. ἔνστασις, εἴ που θάτερον θατέρου χάριν. οὐδὲν γὰρ αἱρετώτερα τὰ ἄμφω τοῦ ἑνός. οἷον τὸ ὑγιάζεσθαι καὶ ἡ ὑγίεια, τῆς ὑγιείας. ἐπειδὴ τὸ ὑγιάζεσθαι τῆς ὑγιείας ἕνεκεν αἱρούμεθα. καὶ μὴ ἀγαθὰ δὲ ἀγαθῶν οὐδὲν κωλύει εἶναι αἱρετώτερα, οἷον τὴν εὐδαιμονίαν, καὶ ἄλλο τι ὃ μή ἐστιν ἀγαθόν, δικαιοσύνης καὶ ἀνδρείας, καὶ τὰ αὐτὰ μεθ' ἡδονῆς μᾶλλον ἢ ἄνευ ἡδονῆς, καὶ τὰ αὐτὰ μετὰ ἀλυπίας μᾶλλον ἤπερ μετὰ λύπης. Καὶ ἕκαστον ἐν ᾧ καιρῷ μεῖζον δύναται, ἐν τούτῳ καὶ αἱρετώτερον, οἷον τὸ ἀλύπως ἐν τῷ γήρᾳ μᾶλλον, ἢ ἐν τῇ νεότητι. μεῖζον γὰρ ἐν τῷ γήρᾳ δύναται. κατὰ ταῦτα δὲ καὶ ἡ φρόνησις ἐν τῷ γήρᾳ αἱρετώτερον. οὐδεὶς γὰρ τοὺς νέους αἱρεῖται ἡγεμόνας, διὰ τὸ μὴ ἀξιοῦν φρονίμους εἶναι, ἡ δ' ἀνδρεία, ἀνάπαλιν. ἐν τῇ νεότητι γὰρ ἀναγκαία, ἡ κατὰ τὴν ἀνδρείαν ἐνέργεια. ὁμοίως δὲ καὶ ἡ σωφροσύνη. μᾶλλον γὰρ οἱ νέοι τῶν πρεσβυτέρων ὑπὸ τῶν ἐπιθυμιῶν ἐνοχλοῦνται. Καὶ ὃ ἐν παντὶ καιρῷ, ἢ ἐν τοῖς πλείστοις χρησιμώτερον, οἷον δικαιοσύνη καὶ σωφροσύνη, ἀνδρείας. αἱ μὲν γάρ, ἀεί. ἡ δὲ ποτὲ χρησίμη. Καὶ ὅταν τῶν ἐχόντων μηδὲν θατέρου δεώμεθα, ἢ ὃ ἐχόντων, προσδεόμεθα τοῦ λοιποῦ, καθάπερ ἐπὶ δικαιοσύνης καὶ ἀνδρείας. δικαίων μὲν γὰρ πάντων ὄντων, οὐδὲν χρήσιμος ἡ ἀνδρεία. ἀνδρείων δὲ πάντων ὄντων, χρήσιμος ἡ δικαιοσύνη. Ἔτι ἐκ τῶν φθορῶν καὶ τῶν ἀποβολῶν, καὶ τῶν γενέσεων, καὶ τῶν λήψεων, καὶ τῶν ἐναντίων. ὧν γὰρ αἱ φθοραὶ φευκτότεραι, αὐτὰ αἱρετώτερα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀποβολῶν καὶ τῶν ἐναντίων. οὗ γὰρ ἡ ἀποβολὴ ἢ τὸ ἐναντίον φευκτότερον, αὐτὸ αἱρετώτερον. ἐπὶ δέ γε τῶν γενέσεων καὶ τῶν λήψεων, ἀνάπαλιν. ὧν γὰρ

αἱ λήψεις καὶ αἱ γενέσεις αἱρετώτεραι, καὶ αὐτὰ αἱρετώτερα.

Ἄλλος τόπος, τὸ ἐγγύτερον τοῦ ἀγαθοῦ, βέλτιον καὶ ἀγαθώτερον, καὶ τὸ ὁμοιότερον τῷ ἀγαθῷ, οἷον ἡ δικαιοσύνη δικαίου. Καὶ τὸ τῷ βελτίονι αὐτοῦ ὄν, ὁμοιότερον. καθάπερ τὸν Αἴαντα τοῦ Ὀδυσσέως φασὶ βελτίω τινὲς εἶναι, διότι ὁμοιότερος τῷ Ἀχιλλεῖ. ἔνστασις τούτου ἐστὶν ὅτι οὐκ ἀληθές. οὐδὲν γὰρ κωλύει μὴ ᾗ βέλτιστος ὁ Ἀχιλλεύς, ταύτῃ ὁμοιότερον εἶναι τὸν Αἴαντα, τοῦ ἑτέρου ὄντος μὲν ἀγαθοῦ, μὴ ὁμοίου δέ. σκοπεῖν δὲ εἰ καὶ ἐπὶ τὰ γελοιότερα εἴη ὁμοίως, καθάπερ ὁ πίθηκος τῷ ἀνθρώπῳ, τοῦ ἵππου μὴ ὄντος ὁμοίου. οὐ γὰρ καλλίων ὁ πίθηκος. ὁμοιότερον δὲ τῷ ἀνθρώπῳ.

Πάλιν ἐπὶ δυοῖν, εἰ τὸ μὲν τῷ βελτίονι, τὸ δὲ τῷ χείρονι ὁμοιότερον, εἴη ἂν βέλτιον τὸ τῷ βελτίονι ὁμοιότερον. ἔχει δὲ καὶ τοῦτο ἔνστασιν. οὐδὲν γὰρ κωλύει τὸ μὲν τῷ βελτίονι ἠρέμα ὅμοιον εἶναι, τὸ δὲ τῷ χείρονι σφόδρα. οἷον εἰ ὁ μὲν Αἴας τῷ Ἀχιλλεῖ ἠρέμα, ὁ δ᾽ Ὀδυσσεὺς τῷ Νέστορι σφόδρα. καὶ εἰ τὸ μὲν τῷ βελτίονι ὅμοιον, ἐπὶ τὰ χείρω ὅμοιον εἴη, τὸ δὲ τῷ χείρονι ἐπὶ τὰ βελτίω. καθάπερ ἵππος ὄνῳ, καὶ πίθηκος ἀνθρώπῳ. Ἄλλος, τὸ ἐπιφανέστερον τοῦ ἧττον τοιούτου, καὶ τὸ χαλεπώτερον. μᾶλλον γὰρ ἀγαπῶμεν ἔχοντες ἃ μὴ ἔστι ῥᾳδίως λαβεῖν. Καὶ τὸ ἰδιαίτερον τοῦ κοινοτέρου, καὶ τὸ τοῖς κακοῖς ἀκοινωνητότερον. αἱρετώτερον γὰρ ᾧ μηδεμία δυσχέρεια ἀκολουθεῖ, ἢ ᾧ ἀκολουθεῖ. Ἔτι εἰ τόδε ἁπλῶς τούτου βέλτιον, καὶ ἁπλῶς τὸ βέλτιστον τῶν ἐν τούτῳ, βέλτιον ἐν τῷ ἑτέρῳ βελτίστου. οἷον εἰ βελτίων ἄνθρωπος ἵππου, καὶ ὁ βέλτιστος ἄνθρωπος τοῦ βελτίστου ἵππου βελτίων. καὶ εἰ τὸ βέλτιστον τοῦ βελτίστου βέλτιστον, καὶ τὸ ἁπλῶς, τούτου βέλτιον. οἷον εἰ ὁ βέλτιστος ἄνθρωπος τοῦ βελτίστου ἵππου βελτίων, καὶ ὁ ἁπλῶς ἄνθρωπος τοῦ ἁπλῶς ἵππου βελτίων. Ἔτι ὧν ἔστι τοὺς φίλους μετασχεῖν, αἱρετώτερα, ἢ ὧν μή. καὶ ἃ πρὸς τὸν φίλον πρᾶξαι βουλόμεθα, ἢ ἃ πρὸς τὸν τυχόντα, ταῦτα αἱρετώτερα. οἷον τὸ δικαιοπραγεῖν καὶ εὖ ποιεῖν μᾶλλον, ἢ τὸ δοκεῖν. τοὺς γὰρ φίλους εὖ ποιεῖν βουλόμεθα μᾶλλον, ἢ δοκεῖν, τοὺς δὲ τυχόντας ἀνάπαλιν. Καὶ τὰ ἐκ περιουσίας τῶν ἀναγκαίων βελτίω, ἐνίοτε δὲ καὶ αἱρετώτερα. βέλτιον γὰρ τοῦ ζῆν, τὸ εὖ ζῆν, τὸ δὲ

εὖ ζῆν, ἐστὶν ἐκ περιουσίας. αὐτὸ δὲ τὸ ζῆν, ἀναγκαῖον. ἐνίοτε δὲ τὰ βελτίω, οὐχὶ καὶ αἱρετώτερα. οὐ γὰρ εἰ βελτίω, ἀναγκαῖον καὶ αἱρετώτερα. τὸ γοῦν φιλοσοφεῖν, βέλτιον τοῦ χρηματίζεσθαι, ἀλλ' οὐχ αἱρετώτερον τῷ ἐνδεεῖ τῶν ἀναγκαίων. τὸ δ' ἐκ περιουσίας ἐστὶν, ὅταν ὑπαρχόντων τῶν ἀναγκαίων, ἄλλα τινὰ προσκατασκευάζηται τῶν καλῶν τισί. σχεδὸν δὲ ἴσως αἱρετώτερον τὸ ἀναγκαῖόν ἐστι, βέλτιον δὲ, τὸ ἐκ περιουσίας. Καὶ ὃ μὴ ἔστι παρ' ἄλλου πορίσασθαι, ἢ ὃ ἔστι καὶ παρ' ἄλλου, ὁποῖον πέπονθεν ἡ δικαιοσύνη πρὸς ἀνδρίαν. καὶ εἰ τόδε μὲν ἄνευ τοῦδε αἱρετὸν, τόδε δὲ ἄνευ τοῦδε μὴ, οἷον δύναμις ἄνευ φρονήσεως οὐχ αἱρετὸν, φρόνησις δὲ ἄνευ δυνάμεως, αἱρετόν. καὶ δυοῖν εἰ θάτερον ἀρνούμεθα, ἵνα τὸ λοιπὸν δόξῃ ἡμῖν ὑπάρχειν, ἐκεῖνο αἱρετώτερον, ὃ βουλόμεθα δοκεῖν ὑπάρχειν. οἷον φιλοπονεῖν ἀρνούμεθα, ἵν' εὐφυεῖς δόξωμεν εἶναι. Ἔτι οὗ τῇ ἀπουσίᾳ ἧττον ἐπιτιμητέον δυσφοροῦσι, τοῦτο αἱρετώτερον. Καὶ οὗ τῇ ἀπουσίᾳ μὴ δυσφοροῦντι μᾶλλον ἐπιτιμητέον, τοῦτο αἱρετώτερον. Ἔτι τῶν ὑπὸ τὸ αὐτὸ εἶδος τὸ ἔχον τὴν οἰκείαν ἀρετὴν τοῦ μὴ ἔχοντος αἱρετώτερον. ἀμφοῖν δ' ἐχόντων, τὸ μᾶλλον ἔχον. Ἔτι εἰ τὸ μὲν ποιεῖ ἀγαθὸν τὸ ἔχοντα, τὸ δὲ μὴ ποιεῖ, τὸ ποιοῦν αἱρετώτερον, καθάπερ θερμότερον τὸ θερμαῖνον, τοῦ μή. εἰ δὲ ἄμφω ποιεῖ, τὸ μᾶλλον ποιοῦν. ἢ εἰ τὸ βέλτιον καὶ κυριώτερον ποιεῖ ἀγαθὸν, οἷον εἰ τὸ μὲν τὴν ψυχὴν, τὸ δὲ τὸ σῶμα. Ἔτι ἀπὸ τῶν πτώσεων, καὶ τῶν χρήσεων, καὶ τῶν πράξεων, καὶ τῶν ἔργων, καὶ ταῦτα δὲ ἀπ' ἐκείνων. ἀκολουθεῖ γὰρ ἀλλήλοις. οἷον εἰ τὸ δικαίως αἱρετώτερον τοῦ ἀνδρείως, καὶ ἡ δικαιοσύνη τῆς ἀνδρίας αἱρετώτερον, καὶ εἰ ἡ δικαιοσύνη τῆς ἀνδρείας αἱρετώτερον, καὶ τὸ δικαίως τοῦ ἀνδρείως. παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Ἔτι εἴ τινος τοῦ αὐτοῦ τὸ μὲν μεῖζον ἀγαθόν ἐστι, τὸ δὲ ἔλαττον, αἱρετώτερον τὸ μεῖζον. ἢ εἰ μείζονος μεῖζον εἴη θάτερον. ἀλλὰ καὶ εἰ δύο τινὰ τινὸς εἴη αἱρετώτερα, τὸ μᾶλλον αἱρετώτερον, τοῦ ἧττον αἱρετοῦ αἱρετώτερον. Ἔτι οὗ ἡ ὑπερβολὴ τῆς ὑπερβολῆς αἱρετωτέρα, καὶ αὐτὸ αἱρετώτερον. οἷον φιλία χρημάτων. αἱρετωτέρα γὰρ ἡ τῆς φιλίας ὑπερβολὴ τῆς τῶν χρημάτων. Καὶ οὗ μᾶλλον αὐ

ἕλοιτο αὐτὸς ἑαυτῷ αἴτιος εἶναι, ἢ ὁ ἕτερος, οἷον τοὺς φίλους τῶν χρημάτων. Ἔτι ἐκ τῆς προσθέσεως, εἰ τῷ αὐτῷ προστιθέμενόν τι, τὸ ὅλον αἱρετώτερον ποιεῖ. εὐλαβεῖσθαι δὲ δεῖ προτείνειν ἐφ' ὧν τῷ μὲν ἑτέρῳ τῶν προστιθεμένων χρῆται τὸ κοινὸν, ἢ ἄλλως πως συνεργόν ἐστι, τῷ δὲ λοιπῷ, μὴ χρῆται, μὴ δὲ συνεργόν ἐστιν. οἷον πρίονα καὶ δρέπανον μετὰ τεκτονικῆς, αἱρετώτερον ὁ πρίων συνδυαζόμενος, ἁπλῶς δὲ, οὐχ αἱρετώτερον. Πάλιν εἰ ἐλάττονι προστεθὲν, τὸ ὅλον, μεῖζον ποιεῖ. ὁμοίως δὲ καὶ ἐκ τῆς ἀφαιρέσεως. οὗ γὰρ ἀφαιρεθέντος ἀπὸ τοῦ αὐτοῦ τὸ λειπόμενον ἔλαττον, ἐκεῖνο μεῖζον ἂν εἴη, ὁπότε ἀφαιρεθὲν τὸ λειπόμενον ἔλαττον ποιεῖ. Καὶ εἰ τὸ μὲν δι' ἑαυτὸ, τὸ δὲ διὰ τὴν δόξαν αἱρετὸν, οἷον ὑγίεια κάλλους. ὅρος δὲ τοῦ πρὸς δόξαν, τὸ μηδενὸς συνειδότος, μὴ ἂν σπουδάσαι ὑπάρχειν. Καὶ εἰ τὸ μὲν δι' ἑαυτὸ καὶ διὰ τὴν δόξαν αἱρετὸν, τὸ δὲ διὰ θάτερον μόνον. Καὶ ὁπότερον μᾶλλον δι' αὑτὸ τίμιον, τοῦτο καὶ βέλτιον καὶ αἱρετώτερον. τιμιώτερον δ' ἂν εἴη καθ' ἑαυτὸ, ὃ μηδενὸς ἄλλου μέλλοντος ὑπάρξειν, δι' ἑαυτὸ αἱρούμεθα μᾶλλον. Ἔτι διελέσθαι ποσαχῶς τὸ αἱρετὸν λέγεται καὶ τίνων χάριν, οἷον τοῦ συμφέροντος, ἢ τοῦ καλοῦ, ἢ τοῦ ἡδέος. τὸ γὰρ πρὸς ἅπαντα ἢ πρὸς τὰ πλείω χρήσιμον, αἱρετώτερον ἂν εἴη τοῦ μὴ ὁμοίως. τῶν δ' αὐτῶν ἀμφοτέροις ὑπαρχόντων, ὁποτέρῳ μᾶλλον ὑπάρχει σκεπτέον, πότερον ἥδιον ἢ κάλλιον, ἢ συμφορώτερον. Πάλιν τὸ τοῦ βελτίονος ἕνεκεν, αἱρετώτερον, οἷον τὸ ἀρετῆς ἕνεκεν, ἢ ἡδονῆς. ὁμοίως δὲ καὶ ἐπὶ τῶν φευκτῶν. φευκτότερον γὰρ τὸ μᾶλλον ἐμποδιστικὸν τῶν αἱρετῶν. οἷον νόσος αἴσχους. καὶ γὰρ ἡδονῆς καὶ τοῦ σπουδαῖον εἶναι, κωλυτικώτερον ἡ νόσος. Ἔτι ἐκ τοῦ ὁμοίως δεικνύναι φευκτὸν καὶ αἱρετὸν τὸ προκείμενον. ἧττον γὰρ τὸ τοιοῦτον αἱρετὸν, ὃ καὶ ἕλοιτ' ἄν τις ὁμοίως καὶ φύγοι, τοῦ ἑτέρου ὄντος αἱρετοῦ μόνον. τὰς μὲν οὖν πρὸς ἄλληλα συγκρίσεις, καθάπερ εἴρηται ποιητέον. Οἱ αὐτοὶ δὲ τόποι χρήσιμοι, καὶ πρὸς τὸ δεικνύναι ὁτιοῦν αἱρετὸν ἢ φευκτόν. ἀφαιρεῖν γὰρ μόνον δεῖ τὴν πρὸς ἕτερον ὑπεροχήν. εἰ γὰρ τὸ τιμιώτερον αἱρετώτερον, καὶ τὸ τίμιον, αἱρετόν. καὶ εἰ τὸ χρησιμώτερον αἱρετώτερον, καὶ τὸ χρήσιμον αἱρετόν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων,

τῶν ἄλλων ὅσα τοιαύτην ἔχει τὴν σύγκρισιν. ἐπ' ἐνίων γὰρ εὐθέως μετὰ τὴν πρὸς ἕτερον σύγκρισιν, καὶ ὅτι αἱρετὸν ἑκάτερον, ἢ τὸ ἕτερον, λέγομεν. οἷον ὅταν τὸ μὲν φύσει ἀγαθόν, τὸ δὲ μὴ φύσει λέγωμεν. τὸ γὰρ φύσει ἀγαθόν, δῆλον ὅτι αἱρετόν ἐστι. Ληπτέον δ' ὅτι μάλιστα καθόλου τοὺς τόπους περὶ τοῦ μᾶλλον καὶ τοῦ μείζονος. ληφθέντες γὰρ οὕτως, πρὸς πλείω χρήσιμοι ἂν εἴησαν. ἔστι δὲ αὐτῶν τῶν εἰρημένων ἐνίους καθόλου μᾶλλον ποιεῖν, μικρὸν παραλλάσσοντα τῇ προσηγορίᾳ. οἷον τὸ φύσει τοιοῦτον, τοῦ μὴ φύσει τοιούτου, μᾶλλον τοιοῦτον. Καὶ εἰ τὸ μὲν ποιεῖ, τὸ δὲ μὴ ποιεῖ τὸ ἔχον τοιόνδε ἢ ᾧ ἂν ὑπάρχοι, μᾶλλον τοιοῦτον ὅπερ ποιεῖ, ἢ ὃ μὴ ποιεῖ. Εἰ δ' ἄμφω ποιεῖ, τὸ μᾶλλον ποιοῦν, τοιοῦτον. Ἔτι εἰ τοῦ αὐτοῦ τινος τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον, τοιοῦτον. Καὶ εἰ τὸ μὲν τοιούτου μᾶλλον τοιοῦτον, τὸ δὲ μὴ τοιούτου τοιοῦτον, δῆλον, ὅτι τὸ πρῶτον μᾶλλον τοιοῦτον. Ἔτι ἐκ τῆς προσθέσεως εἰ τῷ αὐτῷ προστιθέμενόν τι τὸ ὅλον μᾶλλον ποιεῖ τοιοῦτον. Καὶ εἰ τῷ ἧττον τοιούτῳ προστιθέμενον, τὸ ὅλον μᾶλλον ποιεῖ τοιοῦτον.

Ὁμοίως καὶ ἐκ τῆς ἀφαιρέσεως. οὗ γὰρ ἀφαιρεθέντος, τὸ λειπόμενον ἧττον τοιοῦτον, αὐτὸ μᾶλλον τοιοῦτον. Καὶ τὰ τοῖς ἐναντίοις ἀμιγέστερα, μᾶλλον τοιαῦτα. οἷον λευκότερον τὸ τῷ μέλανι ἀμιγέστερον. Ἔτι παρὰ τὰ εἰρημένα πρότερον, τὸ μᾶλλον ἐπιδεχόμενον τοῦ οἰκείου τοῦ προκειμένου λόγου. οἷον εἰ τοῦ λευκοῦ ἐστι λόγος, χρῶμα διακριτικὸν ὄψεως, λευκότερον ὅ ἐστι μᾶλλον χρῶμα διακριτικὸν ὄψεως. Ἂν δ' ἐπὶ μέρους, καὶ μὴ καθόλου τὸ πρόβλημα τεθῇ, πρῶτον μὲν οἱ εἰρημένοι καθόλου κατασκευαστικοί, ἢ ἀνασκευαστικοί, τόποι πάντες χρήσιμοι. καθόλου γὰρ ἀναιροῦντες ἢ κατασκευάζοντες, καὶ ἐπὶ μέρους δείκνυμεν. εἰ γὰρ παντὶ ὑπάρχει, καὶ τινί, καὶ εἰ μηδενί, οὐδὲ τινί. μάλιστα δ' ἐπίκαιροι, καὶ κοινοὶ τῶν τόπων, οἵ τε ἐκ τῶν ἀντικειμένων, καὶ τῶν συστοίχων, καὶ τῶν πτώσεων. ὁμοίως γὰρ ἔνδοξον τὸ ἀξιῶσαι εἰ πᾶσα ἡδονὴ ἀγαθόν, καὶ λύπην πᾶσαν εἶναι κακόν, τῷ εἴ τις ἡδονὴ ἀγαθόν, καὶ λύπην εἶναί τινα κακόν. Ἔτι εἴ τις αἴσθησις μή ἐστι δύναμις, καὶ ἀναισθησία τις, οὐκ ἔστιν ἀδυναμία. καὶ εἴ τι ὑποληπτὸν ἐπιστητόν, ὑπόληψίς τις ἐπιστήμη. Πάλιν

εἴ τι τῶν ἀδίκων, ἀγαθόν, καὶ τῶν δικαίων τι κακόν, καὶ εἴ τι τῶν ἀδίκως κακόν, καὶ τῶν δικαίως τι ἀγαθόν, καὶ εἴ τι τῶν ἡδέων φευκτόν, καὶ ἡδονή τις φευκτόν. κατὰ ταυτὰ δὲ καὶ εἴ τι τῶν ἡδέων ὠφέλιμον, ἡδονή τις ἀγαθόν. Καὶ ἐπὶ τῶν φθαρτικῶν δὲ, καὶ τῶν γενέσεων, καὶ φθορῶν, ὡσαύτως. εἰ γάρ τι φθαρτικὸν ἡδονῆς, ἢ ἐπιστήμης ὄν, ἀγαθόν ἐστιν, εἴη ἂν τις ἡδονὴ ἢ ἐπιστήμη τῶν κακῶν. ὁμοίως δὲ καὶ εἰ φθορά τις ἐπιστήμης τῶν ἀγαθῶν, ἢ ἡ γένεσις τῶν κακῶν, ἔσται τις ἐπιστήμη τῶν κακῶν. οἷον εἰ τὸ ἐπιλανθάνεσθαι ἅ τις αἰσχρὰ ἔπραξε τῶν ἀγαθῶν, ἢ τὸ ἀναμιμνήσκεσθαι τῶν κακῶν, εἴη ἂν τὸ ἐπίστασθαι ἅ τις αἰσχρὰ ἔπραξε, τῶν κακῶν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐν ἅπασι γὰρ ὁμοίως τὸ ἔνδοξον. Ἔτι ἐκ τοῦ μᾶλλον καὶ ἧττον καὶ ὁμοίως. εἰ γὰρ μᾶλλον μὲν τῶν ἐξ ἄλλου γένους τι τοιοῦτον, ἐκείνων δὲ μηδὲν ἐστιν, οὐδ' ἂν τὸ εἰρημένον εἴη τοιοῦτον. οἷον εἰ μᾶλλον μὲν ἐπιστήμη τις ἀγαθὸν ἢ ἡδονή, μὴ δὲ μία δ' ἐπιστήμη ἀγαθόν, οὐδ' ἂν ἡδονὴ εἴη. Καὶ ἐκ τοῦ ὁμοίως δὲ καὶ ἧττον, ὡσαύτως. ἔσται γὰρ καὶ ἀναιρεῖν καὶ κατασκευάζειν. πλὴν ἐκ μὲν τοῦ ὁμοίως, ἀμφότερα. ἐκ δὲ τοῦ ἧττον, κατασκευάζειν μόνον, ἀνασκευάζειν δὲ οὔ. εἰ γὰρ ὁμοίως δύναμίς τις ἀγαθὸν, καὶ ἐπιστήμη. ἔστι δέ τις δύναμις ἀγαθὸν, καὶ ἐπιστήμη ἐστίν. εἰ δὲ μηδεμία δύναμις, οὐδ' ἐπιστήμη. εἰ δὲ ἧττον δύναμίς τις ἀγαθὸν ἢ ἐπιστήμη, ἔστι δέ τις δύναμις ἀγαθόν, καὶ ἐπιστήμη. εἰ δὲ μηδεμία δύναμις ἀγαθόν, οὐκ ἀνάγκη καὶ ἐπιστήμην μηδεμίαν εἶναι ἀγαθόν. δῆλον οὖν ὅτι κατασκευάζειν μόνον ἐστὶν ἐκ τοῦ ἧττον. Οὐ μόνον δὲ ἐξ ἄλλου γένους ἐστὶν ἀνασκευάζειν, ἀλλὰ καὶ ἐκ τοῦ αὐτοῦ, λαμβάνοντα τὸ μάλιστα τοιοῦτον. οἷον εἰ κεῖται ἐπιστήμη τις ἀγαθόν, δειχθείη δ' ὅτι φρόνησις οὐκ ἀγαθόν, οὐδ' ἄλλη οὐδεμία ἔσται, ἐπεὶ οὐδ' ἡ μάλιστα δοκοῦσα. Ἔτι δ' ἐξ ὑποθέσεως ὁμοίως ἀξιώσαντας εἰ ἑνί, καὶ πᾶσιν ὑπάρχειν, ἢ μὴ ὑπάρχειν. οἷον εἰ τοῦ ἀνθρώπου ἡ ψυχὴ ἀθάνατος, καὶ τὰς ἄλλας, εἰ δ' αὕτη μή, μηδὲ τὰς ἄλλας. εἰ μὲν οὖν ὑπάρχειν τινὶ κεῖται, δεικτέον ὅτι οὐχ ὑπάρχει τινί. ἀκολουθήσει γὰρ διὰ τὴν ὑπόθεσιν τὸ, μηδενὶ ὑπάρχειν. εἰ δὲ τινὶ μὴ ὑπάρχον κεῖται, δεικτέον ὅτι ὑπάρχει τινί. καὶ γὰρ οὕτως ἀκολουθήσει τὸ πᾶσιν ὑπάρχειν. δῆλον

δὲ ἐστιν

λον οὖν ὅτι ὑποτιθέμενος ποιεῖ τὸ πρόβλημα καθόλου ἐπὶ μέρους τινός. τὸν γὰρ ἐπὶ μέρους ὁμολογοῦντα, καθόλου ἀξιοῖ ὁμολογεῖν, ἐπειδὴ εἰ ἐνί, καὶ πᾶσιν ὁμοίως ἀξιοῖ ὑπάρχειν. Ἀδιορίστου μὲν οὖν ὄντος τοῦ προβλήματος, μοναχῶς ἀνασκευάζειν ἐνδέχεται. οἷον εἰ ἔφησεν ἡδονὴν ἀγαθὸν εἶναι, ἢ μὴ ἀγαθόν, καὶ μηδὲν ἄλλο προσδιώρισεν. εἰ μὲν γὰρ τινὰ ἔφησεν ἡδονὴν ἀγαθὸν εἶναι, δεικτέον καθόλου ὅτι οὐδεμία, εἰ μέλλει ἀναιρεῖσθαι τὸ προκείμενον. ὁμοίως δὲ καὶ εἰ τινὰ ἡδονὴν ἔφησε μὴ εἶναι ἀγαθόν, δεικτέον καθόλου ὅτι πᾶσα. ἄλλως δ᾽ οὐκ ἐνδέχεται ἀναιρεῖν. ἐὰν γὰρ δείξωμεν ὅτι ἐστί τις ἡδονὴ οὐκ ἀγαθόν, ἢ ἀγαθόν, οὔπω ἀναιρεῖται τὸ προκείμενον. δῆλον οὖν ὅτι ἀναιρεῖν μέν, μοναχῶς ἐνδέχεται, κατασκευάζειν δὲ διχῶς. ἄν τε γὰρ καθόλου δείξωμεν ὅτι πᾶσα ἡδονὴ ἀγαθόν, ἄν τε ὅτι ἐστί τις ἡδονὴ ἀγαθόν, δεδειγμένον ἔσται τὸ προκείμενον. ὁμοίως δὲ κἂν δέῃ διαλεχθῆναι ὅτι ἐστί τις ἡδονὴ οὐκ ἀγαθόν, ἐὰν δείξωμεν ὅτι οὐδεμία ἀγαθόν, ἢ ὅτι τὶς οὐκ ἀγαθόν, δεδειγμένοι ἐσόμεθα ἀμφοτέρως, καὶ καθόλου καὶ ἐπὶ μέρους, ὅτι ἐστί τις ἡδονὴ οὐκ ἀγαθόν. Διωρισμένης δὲ τῆς θέσεως οὔσης, διχῶς ἀναιρεῖν ἔσται. οἷον εἰ τεθείη τινὶ μὲν ὑπάρχειν ἡδονῇ ἀγαθῷ εἶναι, τινὶ δὲ οὐχ ὑπάρχειν. ἄν τε γὰρ πᾶσα δειχθείη ἡ ἡδονὴ ἀγαθόν, ἄν τε μηδεμία, ἀνῃρημένον ἔσται τὸ προκείμενον. εἰ δὲ μίαν μόνην ἔθηκεν ἡδονὴν ἀγαθὸν εἶναι, τριχῶς ἐνδέχεται ἀναιρεῖν. δείξαντες γὰρ ὅτι πᾶσα, ἢ ὅτι οὐδεμία, ἢ ὅτι πλείους μιᾶς ἀγαθόν, ἀνῃρηκότες ἐσόμεθα τὸ προκείμενον. ἐπὶ πλεῖον δὲ τῆς θέσεως διορισθείσης, οἷον ὅτι ἡ φρόνησις μόνη τῶν ἀρετῶν ἐπιστήμη, τετραχῶς ἔστιν ἀναιρεῖν. δειχθέντος γὰρ ὅτι πᾶσα ἀρετὴ ἐπιστήμη, ἢ ὅτι οὐδεμία, ἢ ὅτι καὶ ἄλλη τις, οἷον ἡ δικαιοσύνη, ἢ ὅτι αὐτὴ ἡ φρόνησις οὐκ ἐπιστήμη, ἀνῃρημένον ἔσται τὸ προκείμενον. Χρήσιμον δὲ καὶ τὸ ἐπιβλέπειν ἐπὶ τὰ καθέκαστα ἐν οἷς ὑπάρχειν τι ἢ μὴ εἴρηται, καθάπερ ἐν τοῖς καθόλου προβλήμασιν. Ἔτι δὲ ἐν τοῖς γένεσιν ἐπιβλεπτέον, διαιροῦντα κατ᾽ εἴδη μέχρι τῶν ἀτόμων, καθάπερ πρότερον εἴρηται. ἄν τε γὰρ παντὶ φαίνηται ὑπάρχον, ἄν τε μηδενὶ πολλὰ προσενέγκαντι, ἀξιωτέον καθόλου ὁμολογεῖν, ἢ φέρειν ἔνστασιν ἐπὶ τίνος οὐχ οὕ-

τως Ἔτι ἐφ' ὧν ἐστὶν ἢ εἴδει, ἢ ἀριθμῷ διωρίσαι τὸ συμβεβηκός, σκεπτέον εἰ μηδὲν τούτων ὑπάρχει. οἷον ὅτι ὁ χρόνος οὐ κινεῖται οὐδὲ ἔστι κίνησις, καταριθμησάμενον πόσα εἴδη κινήσεώς ἐστιν. εἰ γὰρ μηδὲν τούτων ὑπάρχει τῷ χρόνῳ, δῆλον ὅτι οὐ κινεῖται, οὐδὲ ἔστι κίνησις. ὁμοίως δὲ καὶ ὅτι ἡ ψυχὴ, οὐκ ἀριθμός, διελόμενον ὅτι πᾶς ἀριθμὸς, ἢ περιττὸς, ἢ ἄρτιος. εἰ γὰρ ἡ ψυχὴ μήτε περιττὸν μήτε ἄρτιον, δῆλον ὅτι οὐκ ἀριθμός. πρὸς μὲν οὖν τὸ συμβεβηκὸς διὰ τῶν τοιούτων καὶ οὕτως ἐπιχειρητέον.

Τέλος τοῦ τρίτου τῶν τοπικῶν.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ
## ΤΟΠΙΚΩΝ ΤΈΤΑΡΤΟΝ.

Μετὰ δὲ ταῦτα, περὶ τῶν πρὸς τὸ γένος καὶ τὸ ἴδιον ἐπισκεπτέον. ἔστι δὲ ταῦτα στοιχεῖα τῶν πρὸς τοὺς ὅρους. περὶ αὐτῶν δὲ τούτων ὀλιγάκις αἱ σκέψεις γίνονται τοῖς διαλεγομένοις.

Ἂν δὴ τεθῇ γένος τινὸς τῶν ὄντων, πρῶτον μὲν ἐπιβλέπειν ἐπὶ πάντα τὰ συγγενῆ τοῦ λεχθέντος, εἴ τινος μὴ κατηγορεῖται, καθάπερ ἐπὶ τοῦ συμβεβηκότος. οἷον, εἰ τῆς ἡδονῆς τὸ ἀγαθὸν γένος κεῖται, εἴ τις ἡδονὴ μὴ ἀγαθόν. εἰ γὰρ τοῦτο, δῆλον, ὅτι οὐ γένος τὸ ἀγαθὸν τῆς ἡδονῆς. τὸ γὰρ γένος κατὰ πάντων τῶν ὑπὸ τὸ αὐτὸ εἶδος κατηγορεῖται.

Εἶτα εἰ μὴ ἐν τῷ τί ἐστι κατηγορεῖται, ἀλλ' ὡς συμβεβηκὸς, καθάπερ τὸ λευκὸν τῆς χιόνος, ἢ ψυχῆς τὸ κινούμενον ὑφ' ἑαυτοῦ. οὔτε γὰρ ἡ χιὼν ὅπερ λευκόν, διόπερ οὐ γένος τὸ λευκὸν τῆς χιόνος, οὔτε ἡ ψυχὴ ὅπερ κινούμενον. συμβέβηκε δὲ αὐτῇ κινεῖσθαι, καθάπερ καὶ τῷ ζῴῳ πολλάκις βαδίζειν τε, καὶ βαδίζον εἶναι. ἔτι τὸ κινούμενον οὐ τί ἐστιν, ἀλλά τι ποιοῦν ἢ πάσχον σημαίνειν ἔοικεν. ὁμοίως δὲ καὶ τὸ λευκόν. οὐ γάρ τί ἐστι ἡ χιὼν, ἀλλὰ ποιόν τι δηλοῖ. ὥστ' οὐδέτερον αὐτῶν ἐν τῷ τί ἐστι κατηγορεῖται.

Μάλιστα δὲ ἐπὶ τὸν τοῦ συμβεβηκότος ὁρισμὸν ἐπιβλέπειν, εἰ

ἐφαρμόττει